μὴ ὅτι γε πρόοδος καὶ ἡ πρὸς ὕπαρξιν τῶν προσώπων ἐνέργεια. Υἱὸς δ' ὡς προβάλλων παράγων πως καὶ αὐτὸς τὸ Πνεῦμα τὸ ἅγιον, ἐκ τοῦ πατρὸς προϊὸν, αὐτό γε προβάλλει καὶ τοῦ πατρὸς προβάλλων ἐξήρτηται, μὴ ὅτι καθ' ὃ γεννᾶται, ἀλλὰ καὶ ᾗ προβάλλων ἐστὶν, οἷς διὰ γεννήσεως τῆς αὐτῆς μεταλαβὼν δυνάμεως τοῦ πατρὸς ὡς προβάλλοντος προβάλλει καὶ αὐτὸς συνάμα τῷ πατρὶ τὸ ἐκ πατρὸς προβαλλόμενον. Ὥςτε καὶ εἰ κατ' ἐπίνοιαν ὁ προβολεὺς μὲν τοῦ πατρὸς προηγεῖτο, τὸ δὲ Πνεῦμα τὸ ἅγιον πρότερόν πως ἐκ τοῦ προβολέως παρήγετο τοῦ υἱοῦ, ὁ υἱὸς ἂν ἦν ἐκ τοῦ προβολέως διὰ τοῦ Πνεύματος, τὸ δέ γε Πνεῦμα τῇ αὐτῇ δήπου δυνάμει τῇ ἐν πατρὶ, τῇ γεννητικῇ δῆλα δὴ τοῦ υἱοῦ, παρῆγεν ἂν καὶ αὐτὸ τὸν υἱὸν ἐκ τοῦ προβολέως ὥς γε πατρὸς, οὐχ ὅτι ὁ προβολεὺς ἢ πατὴρ οὐκ ἦν ἂν αὐτάρκης τὸν αὐτοῦ γεννῆσαι υἱὸν, ὅπου νῦν αὐτάρκως μόνος γεννᾷ, καθάπερ καὶ τότε μόνος αὐτάρκως ἂν τὸ Πνεῦμα παρῆγε τὸ ἅγιον, ἀλλ' ὅτι τὴν αὐτὴν ἂν εἶχε γεννητικὴν δύναμιν τῷ πατρὶ, διὰ πνεύσεως αὐτῷ δοθεῖσαν ὡς τελειότητα καὶ δύναμιν ἐκ πατρὸς, μήπω τοῦ υἱοῦ τῇ ἐπινοίᾳ παραγομένου.

Τὴν δὲ ξυνεπτυγμένην ταύτην θεολογίαν ἡ ρωμαϊκὴ ἀναπτύ-

1. μὴ ὅτι ΠΜΑΒΓ: μὴότι Ν 3. αὐτὸ ΝΠΑΒΓ: αὐτὸ μετὰ πρ διαγεγραμμένον Μ 4. μὴ ὅτι ΒΓ: μηότι Α: μήοτι Π: μηότι ΝΜ καθ' ὃ ἔγραψα: καθὸ ΞΓ 5. ἐστὶν ΝΠΜΒΓ: ἔστιν Α διὰ γεννήσεως ΒΓ: διαγεννήσεως ΝΠΜΑ 6. συνάμα ΜΑΒΓ: σὺν ἅμα ΝΠ: σύναμα Migne 7. ἐπίνοιαν ΝΜΑΒΓ: ἐπείνοιαν Β 8. προηγεῖτο ΝΠΑΓ: προήγετο ΜΒ πρότερόν ΝΜΑΒΓ: προτερόν Π 10. τὸ δέ γε ΠΑΓ: τό τε ΝΜΒ δήπου ΝΠΑΓ: που ΜΒ 11. δῆλα δὴ ἔγραψα: δηλαδὴ ΞΓ παρῆγεν ΠΜΑΒΓ: παρήγεν Ν 12. ἂν καὶ αὐτὸ ΝΜΑΒΓ: ἂν αὐτὸν Π 13. ἂν ΝΠΜΒΓ: λείπει Α αὐτοῦ ΜΒΓ: αὐτοῦ ΝΠΑ 14. μόνος ΝΜΑΒΓ: μόνον Π καθάπερ ΝΠΑΓ: καὶ καθάπερ ΜΒ 15. ἂν ΝΜΑΒΓ: ἂν Β 17. μήπω ΝΠΑΒΓ: μήπω μετὰ μὴ πρς διαγεγραμμένον Μ 19. ξυνεπτυγμένην ΠΑΒ: ξυνεπτυμένην Μ: συνεπτυγμένην Ν: ξυνεππύγμένην Γ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ξασα ἐκκλησία *καὶ ἐκ τοῦ υἱοῦ* τὸ Πνεῦμα ἐθεολόγησεν ἐκπορεύεσθαι, ταὐτὸ βουλομένη νοεῖν διὰ τούτου τῷ *δι' υἱοῦ ἐκ πατρός*, ἵν' αἰτίαν μὲν διὰ τούτου καὶ ἀρχὴν ἐξ ἀρχῆς πηγαίαν τῆς τοῦ ἁγίου Πνεύματος ὑποστάσεως τὸν πατέρα κηρύξῃ καὶ κατὰ τὴν τοῦ θεοῦ Λόγου φωνήν, ξυναίτιον δὲ τὸν υἱὸν καὶ πηγὴν ἐκ πηγῆς καὶ ἀρχὴν ἐξ ἀρχῆς τῆς αὐτῆς ὑποστάσεως τῷ παρὰ τοῦ πατρὸς αὐτὸν ἔχειν τὴν προβλητικὴν δύναμιν, ὡς ἐλέγομεν ᾗ πατὴρ παράγει τὸ Πνεῦμα τὸ ἅγιον. Διὸ καὶ ἀρχοειδῶς μὲν καὶ προηγουμένως, φαίην δ' ἂν καὶ προκαταρκτικῶς καὶ ἀρχικῶς καὶ κυρίως ἐκ τοῦ πατρὸς προϊέναι φησὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἐξ υἱοῦ δὲ οὐχ οὕτω, κἂν καὶ ἐξ αὐτοῦ τῇ αὐτῇ παράγηται δυνάμει καὶ προβολῇ. Οὐδὲ γὰρ αἴτιος ἀναίτιος ὁ υἱός, οὐδὲ ἀρχὴ ἄναρχος τῆς τοῦ Πνεύματος ὑποστάσεως.

Ταῦτά τοι *καὶ ἐξ υἱοῦ* λέγειν ἐθέσπισε τὸ Πνεῦμα τὸ ἅγιον, ἐκεῖνο δήπου διὰ τούτου δηλοῦσα, τὸ *δι' υἱοῦ ἐκ πατρός*. Ὡς γὰρ *δι' υἱοῦ* τὸν πατέρα προϋποτίθησι, καὶ τοῦτον τῆς αὐτῆς ἐνεργείας προκαταρκτικὸν αἴτιον καὶ πηγαῖον καὶ ἄναρχον προεπινοεῖ,

2. ταὐτὸ Β: ταυτὸ ΝΠΜΑΓ: διὰ τούτου ΝΠΑΒΓ: διατούτου **ἐκ τοῦ τὸ πρῶτον γραφέντος** διατοῦτο Μ υἱοῦ ΝΠΑΒΓ: **ἀντὶ τοῦ** υἱοῦ **ἤρχισε πρῶτον γράφων** αἱ Μ 3. αἰτίαν ΠΜΑΒΓ: αιτιαν Ν διὰ τούτου ΝΜΑΒΓ: διὰ τοῦτου Π ἐξ ἀρχῆς Γ: **λείπει** Ξ πηγαίαν ΜΒΓ: πηγαῖαν ΝΠΑ 4. τοῦ ΝΠΓ: **λείπει** ΜΑΒ 5. τὴν ΝΜΑΒΓ: ταύτην τὴν Π ξυναίτιον ΠΜΑΒΓ:
·ξαρ
ὑναίτιον Ν 6. ἀρχὴν ἐξ ἀρχῆς ΝΜΑΒ Migne: ἀρχὴν ἐ χῆς Π 8. τὸ πν. ΝΜΑΒΓ: τό πν. Π 10 ἐξ ΝΜΑΒΓ: εξ Π 11 κἂν Ξ: κᾂν Γ αὐτοῦ ΠΜΑΒΓ: αυτοῦ Ν παράγηται ΝΠΓ: παράγεται ΜΑΒ 12. ἀναίτιος ΝΜΑΒΓ: ἄναίτιος Π οὐδ' Ξ: οὐδὲ Γ 14. ταῦτά ΝΜΒΓ: ταῦτα ΠΑ 15. διὰ τούτου ΝΠΓ: διὰ τοῦτο ΑΒ: διατοῦτο **πρόςθετον ἐν τῇ ᾤᾳ διὰ παραπεμπτικοῦ σημείου ∧ ἐν τῷ κειμένῳ** Μ 16. προϋποτίθησι ΠΒΜ: προύτίθησι ΝΑ: προτίθησι Γ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

οὕτω καὶ τὸ *ἐξ υἱοῦ* τὸν μὲν υἱὸν ξυναίτιον καὶ ἀρχὴν ἐξ ἀρχῆς, τὸν δὲ πατέρα ἁπλῶς αἴτιον καὶ ἀρχὴν ἄναρχον ἀποφαίνει τοῦ Πνεύματος. Ὅθεν καὶ εἴ που τὸν υἱὸν ἀρχὴν καὶ αἰτίαν φησίν, ἢ ξυγχωρεῖ λέγειν, τῆς τοῦ Πνεύματος ὑποστάσεως, καθάπερ ἐν τῷ Ὅρῳ τῆς ἱερᾶς καθολικῆς ὀγδόης συνόδου τῆς ἐν Φλωρεντίᾳ γέγραπται, οὐχ ἁπλῶς ἀρχὴν οὐδ' αἰτίαν αὐτὸν βούλεται εἶναι, ἀλλ' ἀρχὴν ἐξ ἀρχῆς καὶ αἰτίαν ἢ αἴτιον ὡς ξυναίτιον· ὥςπερ αὖ πάλιν κἀκεῖνο ἐν τῷ αὐτῷ περιεχόμενον Ὅρῳ τὸ *Οὕτω κἀκ τοῦ υἱοῦ τὸ Πνεῦμα προβάλλεσθαι καθάπερ καὶ ἐξ αὐτοῦ τοῦ πατρὸς* οὐ κατὰ τὸν τρόπον νοεῖ τῆς προόδου, ὥστε ὡςαύτως, ἤτοι πηγαίως καὶ ἀνάρχως καὶ ἀναιτίως καὶ οἷον ἐξ ἑαυτοῦ τοῦ υἱοῦ τὸ Πνεῦμα προάγεσθαι, καθάπερ ἐξ αὐτοῦ τοῦ πατρός. Ἀντιφάσει γὰρ ἂν περιέπιπτεν, εἰ οὕτως ἐνόει ταυτὶ *καὶ ἐξ υἱοῦ* τὸ Πνεῦμα κηρύττουσα, ἀλλὰ κατὰ τὸ ταὐτὸν τῆς δυνάμεως, μιᾶς οὔσης τῷ ἀριθμῷ ἐν πατρὶ καὶ υἱῷ διὰ γεννήσεως, ὡς ἐλέγομεν, ἐκ πατρὸς τῷ υἱῷ διδομένης, καθάπερ καὶ τῆς οὐσίας αὐτῆς. Διὸ καὶ τὸν υἱὸν ἐκ πατρὸς παράγειν κηρύσσει τὸ Πνεῦμα καὶ προβάλλοντα αὐτὸν εἶναι ἐκ τοῦ πατρὸς καὶ ὅσα τῆς ὁμοίας ἐστὶ δυνάμεως.

Εἰ δὲ τούτων ὑφ' ἡμῶν εἰρημένων τις ἀποροῖ, πρῶτον μὲν πῶς οὖν ὁ υἱὸς οὐ γεννᾷ καθάπερ δὴ καὶ προβάλλει, τῆς αὐτῆς

1. καὶ τὸ ἐξ ΠΜΒΓ: καὶ‸ἐξ (τὸ supra) Α: καὶ ἐξ Ν ξυναίτιον ΠΜΑΒΓ: υναίτιον Ν 3. καὶ αἰτίαν ΠΜΑΒΓ: αἱ (κ supra) αἰτίαν Β 4. ξυγχωρεῖ ΠΜΑΒΓ: υγχωρεῖ Ν 7. ξυναίτιον ΠΜΑΒΓ: υναίτιον **προστεθέντος εἶτα ἐν ἀρχῇ σ** Ν 8. κἀκεῖνο Ξ: κᾳκεῖνο Γ κἀκ ΜΑΒ: κὰκ Π: κᾳκ Γ: **λείπει ἀφεθέντος χώρου κενοῦ** Ν 10. οὐ ΝΜΑΒΓ: οὔ Π ἤτοι ΝΠΑΒΓ: **ἢ καί τινα συγκεχυμένα γράμματα ἐν τῷ κειμένῳ, εἶτα δὲ τοι ἐν τῇ ᾤᾳ πρόςθετον νεωτέρᾳ χειρὶ** Μ 13. ἂν ΝΠΜΑΒ: **λείπει** Γ 14. ταὐτὸν Β: ταυτὸν ΝΠΜΑΓ 15. ὡς ΝΜΑΒΓ: ὥς Π 18. ἐστὶ ΠΜΒΓ: ἔστι ΝΑ 19. τις ΑΒ: τίς Π: τὶς ΝΜΓ: ἀποροῖ ΝΠΑΓ: ἀπορῇ ΜΒ **Ἐν τῇ ᾤᾳ ἀπορία** Α 20. αὐτῆς ΝΜΑΒΓ: αὐτεῖς Π

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

μεταλαγχάνων γεννητικῆς δυνάμεως τῷ πατρί, ἢ πῶς τὸ Πνεῦμα τὸ ἅγιον οὔτε προβάλλει, οὔτε γεννᾷ, τῶν δυνάμεων ἑκατέρων οὐσῶν ἐν αὐτῷ καθάπερ ἐν πατρὶ καὶ υἱῷ, δεύτερον δὲ πῶς οὖν οὐ δύο ἀρχαί, δυοῖν ὄντων τῶν προβαλλόντων, ἢ πῶς οὐ ξυναλοιφή, εἰ δύο μία ἀρχή, ἴστω πρῶτον μὲν πρὸς τὸ πρότερον, ὅτι τοῦ πατρὸς τὸν υἱὸν γεννῶντος τῇ γεννητικῇ δυνάμει, καθάπερ ἐλέγομεν, ἡ γέννησις ξυνῆπται τῇ ἑαυτῆς καὶ αὐτὴ δυνάμει ᾗ ὁ υἱὸς γεννᾶται ἐκ τοῦ πατρός. Ὁμοίως δὲ καὶ τοῦ πατρὸς δι' υἱοῦ τὸ πνεῦμα προβάλλοντος ἡ προβολὴ ξυνῆπται τῇ ἑαυτῆς καὶ αὐτὴ δυνάμει, ᾗ ἐκ πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται. Οὔτε τοίνυν ὁ υἱὸς γεννᾷ διὰ ταῦτα, οὔτε τὸ ἅγιον Πνεῦμα γεννᾷ τι ἢ ἐκπορεύει· μεταδίδωσι γὰρ ὁ πατὴρ τῶν εἰρημένων δυνάμεων, τῆς μὲν γεννητικῆς τῷ υἱῷ, τῆς δὲ γεννητικῆς καὶ προβλητικῆς τῷ ἁγίῳ Πνεύματι, ξυνημμένων ἤδη ταῖς σφῶν αὐτῶν ἐνεργείαις ὡς τελειοτήτων μόνον, οὐχ ὡς δυνάμεων. Πρόσεστι δὲ καὶ τὸ τὴν δύναμιν ἑκατέραν ἄπειρον εἶναι καὶ ξυμμετρουμένην τοῖς ἐκ πατρός, καὶ αὐτοῖς ἀπείροις οὖσι μιᾷ καὶ τῇ αὐτῇ ἀπειρίᾳ καὶ ἀεὶ παραγομένοις κατὰ τὴν τῶν θεολόγων φωνήν. Διὸ καὶ ὁ πατὴρ μιᾷ δυνάμει γεννητικῇ οὐ πλείους μιᾶς υἱκῆς ὑποστάσεως γεννᾷ,

3. δεύτερον ΠΑΒΓ: β̃ον ΝΜ 4 ξυναλοιφὴ ΠΜΑΒΓ: ὑναλοιφὴ **προςτεθέντος εἶτα ἐν τῇ ἀρχῇ ἄλλῃ χειρὶ** σ Ν 5. ἴστω ΝΠΑΒΓ: **ἐν τῇ ᾤᾳ ἐπαναλαμβάνεται νεωτέρᾳ χειρὶ** στω Μ Ἐν **τῇ ᾤᾳ** λύσις πρὸς τὸ αον Α 7. ξυνῆπται ΠΜΑΒΓ: ὑνῆπται Ν καὶ αὐτὴ ΜΒ: **λείπει** ΝΠΑΓ 7-10. ᾗ ὁ (ὁ **λείπει** Π)-ξυνῆπται (ὑνῆπταιΝ)-αὐτὴ (αὐτῆ Ν) δυνάμει ΝΠΓ: **λείπουσι** ΜΑΒ 10. οὔτε ΝΜΑΒΓ: οὖτε Π 11. διὰ ταῦτα ΝΠΑΓ: διαταῦτα ΜΑ τι **ἔγραψα**: τὶ ΠΑΓ: τῒ Ν: **λείπει** ΜΒ 13. τῆς ΝΜΒΑΓ: της Π
14. ξυνημμένων ΠΜΑΒΓ: ὑνημμένων **προςτεθέντος εἶτα ἐν τῇ ἀρχῇ** σ Ν 15 μόνον ΝΠΑΒΓ: μόνον **ἐκ τοῦ τὸ πρῶτον γραφέντος** μόνων Μ οὐχ ΠΜΑΒΓ: οὐχ' Ν δὲ ΠΜΑΒΓ: δεν Ν τὸ Ξ: ὁ Γ 16. ξυμμετρουμένην ΠΜΑΒΓ: ὑμμετρουμένην **προςτεθέντος εἶτα ἐν τῇ ἀρχῇ** σ Ν 18. κατὰ ΠΜΑΒΓ: μετὰ Ν

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

οὔθ᾽ ἑνὸς αὖ μιᾷ δυνάμει προβλητικῇ πλείω παράγει τὰ πνεύματα. Ταῦτά τοι καὶ οὐ πλείω τριῶν ἐν τοῖς θείοις ἐντεῦθεν αἱ ὑποστάσεις, καθάπερ τοῖς θεολογικωτέροις ἐξήτασται.

Οὐχ οὕτω δὲ ξυμβαίνει περὶ τὴν ἐν τῷ υἱῷ προβλητικὴν δύναμιν τὴν ἐκ πατρὸς αὐτῷ δεδομένην διὰ γεννήσεως. Αὐτὴ γάρ, ὅθ᾽ ὁ υἱὸς παρῆκται, μήπω νοουμένου τοῦ Πνεύματος ἐκπορεύεσθαι, καθάπερ πρόσθεν ἐλέγομεν, ἐκ πατρὸς δέδοται τῷ υἱῷ, μήπω τοῦ πατρὸς ὡς προβολέως αὐτῇ τὸ Πνεῦμα προάγοντος. Διὸ καὶ τῇ αὐτῇ δυνάμει καὶ ὁ υἱὸς ᾗ προβάλλων ἐκ τοῦ πατρὸς συνάμα πατρὶ μιᾷ προόδῳ τὸ Πνεῦμα ἐκπορεύει τὸ ἅγιον, ὅθ᾽ ὁ πατὴρ ᾗ προβολεὺς αὐτὸ ἐκπορεύει.

Ἔπειτα δὲ καὶ πρὸς τὸ δεύτερον ἴστω, ὅτι τὸ τῆς ἀρχῆς ὄνομα διττῶς οὐ μόνον τοῖς φιλοσόφοις, ἀλλὰ καὶ τοῖς θεολογοῦσι λαμβάνεται, ἕνα μὲν τρόπον ὡς δύναμις, ἄλλον δ᾽ αὖ ὡς πρόσωπον ἢ ὑπόστασις. Καλεῖται δὲ ἡ μὲν ἀρχὴ ἡ ὡς δύναμις, ᾗ δυνάμει καὶ ἀρχῇ προάγει τό γε προάγον, αὐτῆς μὲν οὐ προαγούσης· ᾗ γὰρ ἂν καὶ αὐτὴ ἄλλῃ τινὶ δυνάμει παρῆγε τῇ ἐν αὐτῇ, καὶ αὐτὴ πάλιν αὖ ἑτέρᾳ δυνάμει, κἀντεῦθεν ἐν τοῖς καθ᾽ αὑτὸ ἡ ἐπ᾽ ἄπειρον

1. οὔθ᾽ Ξ: οὔδ᾽ Γ 2. ταῦτά τοι καὶ ΝΠΒΓ: ταυτατοικαὶ Μ: ταῦτα τοι ҳ καὶ Α 3. ἐξήτασται ΝΠΜΒΓ: ἐξίσταται Α 5. δεδομένην ΝΒ: διδομένην ΠΜΑΓ 6. ὅθ᾽ ΝΜΑΒΓ: ὁθ᾽ Π πνεύματος ΝΠΑΒΓ: πνς᾽ ἐκ τοῦ τὸ πρῶτον γεγραμμένου πρς᾽ Μ πνεῦμα ΝΠΑΒΓ: πνα᾽ ἐκ τοῦ τὸ πρῶτον γραφέντος πρα᾽ Μ 8. προάγοντος ΝΜΑΒΓ: προάγοντος Β 11. προβολεὺς ΠΜΑΒΓ: προβολὲς Ν 12. Ἐν τῇ ᾦᾳ λύσις πρὸς τὸ δεύτερον καὶ ὅτι τὸ τῆς ἀρχῆς ὄνομα διττῶς νοεῖται Α 14. αὖ ΝΜΒΓ: ἂν ΠΑ 15. δυνάμει ΝΠΜΒΓ: δυνάμει προηγουμένου κενοῦ δύο γραμμάτων Α 16 ᾗ Γ: ἣ ΝΠΜΒ: ἧ Α 17. αὐτὴ ΝΠΑΒΓ: αὐτὴ ἐκ τοῦ τὸ πρῶτον γραφέντος αὐτῆ Μ 18. κἀντεῦθεν Ξ: κᾀντεῦθεν Γ καθ᾽αὑτὸ ΠΝΒΓ: καθαυτὸ Α: καθαυτὸ ἐκ τοῦ τὸ πρῶτον γραφέντος καθ᾽ αὐτὸ Μ ἐπ᾽ ἄπειρον ΠΑΒΓ: ἐπάπειρον ΝΜ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἦν προχώρησις, ὅπερ ἄτοπον· ἀρχῆς δὲ οὔσης αὐτῆς καὶ δυνάμεως, ᾗ προάγει τὸ αὐτὴν ἔχον ὡς ἀρχὴ κατὰ τὸ δεύτερον τῆς ἀρχῆς σημαινόμενον, ἡ δὲ ἀρχὴ ἡ ὡς πρόσωπον ἢ ἄτομον ἢ ὑπόστασις, ἥτις καλεῖται, τουτέστιν ἥτις παράγει τῇ ᾗ δυνάμει, τῇ ἐν αὐτῇ δῆλα δή. Τοσαυταχῶς οὖν τοῦ τῆς ἀρχῆς ὀνόματος ἐκλαμβανομένου, εἰ μὲν ἐν πατρὶ καὶ υἱῷ δύο τὰς ἀρχὰς θείη τις ὡς δυνάμεις προβλητικάς, αἷς πατὴρ καὶ υἱὸς τὸ Πνεῦμα παράγουσι, μάλα ἄτοπον καὶ ψευδὲς καὶ τῆς εὐσεβείας ἀλλότριον. Ἠ γὰρ ἂν οὐδ' ἡ αὐτὴ οὐσία τῷ ἀριθμῷ πατρὶ προσῆν καὶ υἱῷ, οἷς τῇ τῆς αὐτῆς δυνάμεως διακρίσει καὶ ἡ διάκρισις εὐθὺς ἕπεται τῆς οὐσίας ἔστι μὲν ὅτε καὶ εἴδει, ἔστι δ' ὅτε καὶ τῷ ἀτόμῳ. Ἀλλ' οὕτω δύο ἀρχὰς ἐν τοῖς δυοῖν ὡς δυνάμεις οὐδαμῶς ἡ ἱερὰ τῶν Ῥωμαίων ἐδόξασεν ἐκκλησία, πολλοῦ γε καὶ δεῖ· ὅπου γε, καθάπερ ἐλέγομεν, πάντα τὴν αὐτὴν ἐν πατρὶ προβλητικὴν δύναμιν τἀριθμῷ προσεῖναι δοξάζει καὶ τῷ υἱῷ ἐκ τοῦ πατρὸς αὐτῷ διδομένην διὰ γεννήσεως, καθάπερ καὶ τὴν οὐσίαν αὐτήν, ὅσα τε ἄλλα φαμὲν τοῖς προσώποις ἐκ τῆς πηγαίας ἀρχῆς δίδοσθαι τοῦ θεοῦ καὶ πατρός, κἀντεῦθεν καὶ μίαν τἀριθμῷ πρόοδον καὶ ἓν δήπου Πνεῦμα, τὸ παραγόμενον ἐκ πατρὸς δι' υἱοῦ τῇ μιᾷ τἀριθμῷ δυνάμει τῇ ἐν ἀμφοῖν. Εἰ δὲ δύο ἀρχὰς οὕτω τις ἐκλαμβάνειν ἐθέλει, καθάπερ ὑποστάσεις δύο καὶ πρόσωπα, τί τὸ ἄτοπον πρὸς τῆς Τριάδος αὐτῆς ἢ ποῖον κατὰ τῆς ἐκκλησίας ἐντεῦθεν γένοιτ'

1. ἦν ΝΜΑΒΓ: ἧς Π 3. ἀρχῆς ΝΜΒΓ: αὐτῆς ΠΑ ὡς ΝΜΑΒΓ: ως Π 4. παράγει ΝΜΑΒΓ: παράγη Π 5 ·δῆλα δὴ Β: δηλαδὴ ΝΠΜΑΓ 6. ἐκλαμβανομένου ΝΜΑΒΓ: ἐκλαμβανόμένον Π 8. ψευδὲς ΠΜΑΒΓ: ψευδὲν ἐκ τοῦ ψευδὸν Ν ᾗ Γ: ἢ ΝΠΜΒ: ἣ Α 12. ἐν ΝΠΑΓ: καὶ ΜΒ 13. καὶ ΝΜΑΒΓ: καί Π 16. διὰ γεννήσεως ΝΠΜΒΓ: διαγεννήσεως Α 18. κἀντεῦθεν ΝΜΑΒ: κάντεῦθεν Π: κᾀντεῦθεν Γ 19. τὸ ΝΠΑΓ: λείπει ΜΒ τἀριθμῷ ΝΜΑΒΓ: ταριθμῷ Π 20. ἐκλαμβάνειν ΝΜΑΒΓ: ἔκλαμβάνειν Π 21. τί ΠΜΑΒΓ: τὶ Ν 22. κατὰ τῆς ΜΒΓ: κατὰ ΝΠΑ ἐκκλησίας ΝΜΑΒΓ: ἐκλησίας Π

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἂν δόγμα τῷ τοῦ Ἀρείου προςεοικός; Καὶ πειθέτω σε τὸ μιᾷ δυνάμει τὰς τρεῖς ὑποστάσεις τὴν κτίσιν παράγειν, τρεῖς ἀρχὰς οὕτως ὡς ὑποστάσεις, οὐχ ὡς δυνάμεις. Ὅ τε γὰρ πατὴρ παράγει τὴν κτίσιν, ὅ θ' υἱὸς παράγει τὴν κτίσιν, τό τε Πνεῦμα τὸ ἅγιον παράγει τὴν κτίσιν, καὶ οὐδὲν ἐντεῦθεν ἕπεται ἄτοπον οὐδ' ἀσεβὲς δόγμα οὐδὲ τῷ τοῦ Ἀρείου προςεοικός. Ἕως γὰρ ἂν ἐν μιᾷ θεότητι αἱ ὑποστάσεις πληθύνωνται, οὐδέποτε ἄτοπον νομισθείη τὸ ἐν μιᾷ καὶ τῇ αὐτῇ δυνάμει πλείους τὰς ἀρχὰς ὑπάρχειν ὡς ὑποστάσεις.

Ἐκ τούτων δὴ φανερὸν, ὅτι οὐδεμία τις ἐντεῦθεν διαίρεσις ἢ συναίρεσις ἕπεται, οὐδ ἄλλο τι ἄτοπον καὶ ἀδύνατον. Ἐν γὰρ μιᾷ δυνάμει προβλητικῇ προσωπικῶς αἱ ὑποστάσεις διῄρηνται, πατὴρ καὶ υἱὸς, καθάπερ καὶ ἐν μιᾷ οὐσίᾳ πατὴρ υἱός τε καὶ Πνεῦμα ἅγιον, οὐ δύο μὲν προβολεῖς ὄντες, ἀλλ' εἷς, δύο γε μὴν προβάλλοντες, τῷ τρόπῳ μόνῳ γε διαφέροντες. Ἐκεῖνο μὲν γὰρ τὴν δύναμιν ἀφορᾷ, μίαν οὖσαν, οὐ πλείους ἐν ἑκατέρῳ, καὶ διὰ τοῦτο εἷς πάντως ὁ προβολεὺς, τοῦτο δὲ ἄρα τὰς ὑποστάσεις ὡς διακρινομένας τῷ χρήματι, καὶ διὰ τοῦτο δύο φαμὲν θεολογικώτατα τοὺς προβάλλοντας.

1. τῷ ΝΠΑΒ: τὸ Μ 2 ἀρχὰς ΝΜΑΒΓ: ἀρχᾶς Π Ἐν τῇ ᾤᾳ Ῥῶσος ἀναγνώστης ἔγραψε ΗΟΓΑ ἤτοι ποδὶ Α 3. οὕτως ΝΜΑΒΓ: οὔτως Π οὐχ ΠΜΑΒΓ: οὐχ' Ν 4. τό τε ΝΠΑΒΓ: τό, τε τὸ Μ 5. ἀσεβὲς ΠΜΑΒΓ: ἀσεβὲς ἑπομένου κενοῦ δύο γραμμάτων Ν 6. τῶ Γ: τῷ ΝΠΒ: τὸ ΜΑ ἂν ΝΜΑΒΓ: ἄν Π 7. πληθύνωνται Β: πληθύνονται ΝΠΜΑΓ 10. τις ΝΒ: τίς Π: τὶς ΜΑ 11. οὐδ' ΝΜΒΓ: ἀλλ' οὐδ' ΠΑ ἄλλο Β: ἄλλό ΝΠΜΑΓ 13. οὐσίᾳ Γ: οὐσία ΝΜΑΒ: ο'ὐσία Π ὄντες ΠΜΑΒΓ: ὄντ ἑπομένου κενοῦ Ν 15. προβάλλοντες ΠΜΑΒΓ: προβάλλοντων Ν γε ΠΜΑΒΓ: γεν Ν διαφέροντες ΠΜΑΒΓ: διαφέροντ ἑπομένου κενοῦ Ν 16. ἐν ΝΜΑΒΓ: έν Π 17 (καὶ 18). διὰ τοῦτο ΝΠΒΓ: διατοῦτο ΜΑ 17. προβολεὺς ΠΜΑΒΓ: προβολὲς Ν καὶ Ξ: Καὶ Γ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Αὕτη ἐστὶν ἡ τῆς ῥωμαϊκῆς ἐκκλησίας, ταὐτὸν δὲ εἰπεῖν τῆς καθολικῆς πίστεως, περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος ἡ εὐσέβεια. Τούτοις ἡμεῖς ἐτράφημέν τε καὶ ἐπαιδεύθημεν δόγμασιν, οὐ σοφίσμασιν, ὥς ἔνιοί φασιν, ἢ πειθοῖ σοφίας ἢ ἀνθρωπίναις ἐννοίαις γυμναῖς ἑπόμενοι, ἀλλὰ τοῖς θεολόγοις τῆς ἐκκλησίας καὶ ὅσα περ θεόθεν ἐφθέγξαντο. Ἐντεῦθέν ἐστι διὰ τούτων καὶ τοὺς ἁγίους νομίζειν ξυνῳδὰ σφίσιν αὐτοῖς φθέγγεσθαι καὶ οὐ περὶ τῶν αὐτῶν διαφέρεσθαι, ὅπερ οἱ τῆς θεολογικῆς σοφίας ἀνεπιστήμονες πάσχουσιν, ἤτοι τὰ τῶν ἁγίων ὀβελίζοντες ἀξιώματα ἢ νοθεύοντες ἢ ἀρνούμενοι ἢ κακῶς καὶ ἀνεπιστημόνως καὶ ὡς αὐτοῖς ἐφετὸν ἐξηγούμενοι. Ἀλλὰ μὴ τοιοῦτόν τι πάθοις αὐτὸς, ὃν ἐγὼ πᾶσιν ἄλλοις εὐδαίμονα τῷ ὄντι νομίζω, καὶ δὴ καὶ τῇ περὶ τὴν εὐσέβειαν ἀκριβείᾳ καὶ τῇ τῶν ὀρθῶν δογμάτων ὀρθότητι. Ἀλλ' ἐπιστήσας σὺν ἀκριβείᾳ τοῖς λεγομένοις ἐξ ἑκατέρων, ἕπου τοῖς θεολογικωτέροις μᾶλλον σὺν λόγῳ ἢ τοῖς ἀμαθέσι σὺν ἀμαθίᾳ, λόγον μὲν οὐδένα ἀποδιδοῦσιν, ὃς ἂν καὶ εὔλογος νομισθείη, φευγοδικοῦσι δὲ μᾶλλον καὶ τὴν ἀλήθειαν ξυγκαλύπτουσι καὶ

1. ταὐτὸν Β: ταυτὸν ΝΠΜΑΓ 3. εὐσέβεια ΝΜΑΒΓ: εὐσέβειαν Π 4. ἔνιοί φασιν Β: ἔνιοι φασὶν ΝΠΜΑΓ ἀνθρωπίναις ΝΠΑΒΓ: ἀνθρωπίναις Π 5. ἐννοίαις γυμναῖς ἑπόμενοι ΝΠΑΒΓ: γυμναῖς ἑπόμενοι ἐννοίαις Π τοῖς ΝΜΑΒΓ: τοις Π 6. ὅσα ΝΠΓ: ὅσοι ΜΑΓ ἐντεῦθέν ΑΒ: ἐντεῦθεν ΝΠΜΓ ἐστι ΜΒ: ἔστι ΝΠΑ: ἐστὶ Γ διὰ τούτων ΝΠΑΒΓ: διατούτων Μ 7. ἁγίους ΝΜΑΒΓ: ἁγίους ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἅγιους Π ξυνῳδὰ ΠΜΑΒΓ: ὑνῳδὰ Ν περὶ ΝΜΑΒΓ: πέρὶ Π 9 ὀβελίζοντες ΠΜΑΒΓ: ὀβελίζοντες Ν 12. τῷ ὄντι Γ: τῶ όντι Ν: τωόντι ΜΑΒ: τωόντι Π τὴν ΝΜΑΒΓ: τῆν Π 14. ἀκριβεία ΝΜΑΒΓ: ἄκριβεία Π ἑκατέρων ΝΜΑΒΓ: ἑκατέρων Π 15. θεολογικωτέροις ΝΜΑΒΓ: θεολογικωτέροις Π ἀμάθία Π: ἀμαθεία ΝΒΓ 17. φευγοδικοῦσι ΝΜΒΓ: φευγοδοκοῦσι ΠΑ: φυγοδικοῦσι Migne 18. ξυγκαλύπτουσι ΠΜΑΒΓ: υγκαλύπτουσι Ν

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

τὸ τῶν Ἑλλήνων γένος οἷς πράττουσί τε καὶ λέγουσι διαφθείρουσιν.

Ἐβουλόμην σοι τὸν παρόντα λόγον ἐκτείνειν καὶ πλείω γράφειν τῶν αὐτῶν πέρι, λαμπρότατε. Ἀλλ' ἀρκεῖν ἐνόμισα ταῦτα νυνὶ τῇ ἐξεταστικῇ σου ψυχῇ, ἐξ ὀλίγων ἄγαν τὰ πλείω ἄρα ξυνιδεῖν δυναμένῃ. Ἐν δὲ τῷ μετὰ ταῦτα χρόνῳ διεξοδικώτερον, εἰ σὺ κελεύοις, θεολογήσομεν, ἀκριβέστερον τὰ τῆς θεολογίας διεξερχόμενοι δόγματα· δεῖ γάρ σοι πείθεσθαι πάντως καθάπερ πατρὶ καὶ κηδεμόνι τοῦ γένους.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

---

1. ἐλλήνων ΝΜΑΒΓ: ἑλλήνων Π    πράττουσί ΝΠΑΒΓ: πράττουσι Μ    3. γράφειν ΝΠΜΒΓ: μετὰ τὸ γράφειν ἕπεται λαμπρ διαγεγραμμένον Α    λαμπρότατε Μ: λαμπρότατα ΒΓ: λαμπρότητα ΝΠΑ    4. πέρι ΠΜΑΒΓ: περὶ Ν    ταῦτα ΝΜΑΒΓ: ταύτα Π    5. ὀλίγων ΠΜΑΓ: ὀδίγων Ν: ὀθίγων Β    ἄγαν ΠΜΑΒΓ: ἃ αν μένοντος ἐν μέσῳ τῶν δύο α κενοῦ Ν    ἄρα ΝΠΜ: λείπει ΑΒΓ    ξυνιδεῖν ΠΑΒΓ: υνιδεῖν Ν: ξυνειδεῖν Μ    6. μετὰ ταῦτα Γ: μεταταῦτα ΝΠΜΑΒ    7. κελεύοις ΝΜΑΒΓ: κελεύεις (οι) Π    9. κηδεμόνι ΝΠΜΒΓ: κηδαιμόνι Α

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007